κάμινον τοῦ πυρὸς τὴν καιομένην· καὶ ποῖος θεὸς ἐξελεῖται ὑμᾶς 𝔊
16 ἐκ τῶν χειρῶν μου; [16]ἀποκριθέντες δὲ Σεδραχ, Μισαχ, Αβδεναγω
εἶπαν τῷ βασιλεῖ Ναβουχοδονοσορ Βασιλεῦ, οὐ χρείαν ἔχομεν
17 ἡμεῖς ἐπὶ τῇ ἐπιταγῇ ταύτῃ ἀποκριθῆναί σοι· [17]ἔστι γὰρ θεὸς ἐν
οὐρανοῖς εἷς κύριος ἡμῶν, ὃν φοβούμεθα, ὅς ἐστι δυνατὸς ἐξ-
ελέσθαι ἡμᾶς ἐκ τῆς καμίνου τοῦ πυρός, καὶ ἐκ τῶν χειρῶν σου,
18 βασιλεῦ, ἐξελεῖται ἡμᾶς· [18]καὶ τότε φανερόν σοι ἔσται, ὅτι οὔτε
τῷ εἰδώλῳ σου λατρεύομεν οὔτε τῇ εἰκόνι σου τῇ χρυσῇ, ἣν ἔ-
19 στησας, προσκυνοῦμεν. [19]τότε Ναβουχοδονοσορ ἐπλήσθη θυμοῦ,
καὶ ἡ μορφὴ τοῦ προσώπου αὐτοῦ ἠλλοιώθη, καὶ ἐπέταξε καῆναι
20 τὴν κάμινον ἑπταπλασίως παρ᾽ ὃ ἔδει αὐτὴν καῆναι· [20]καὶ ἄνδρας
ἰσχυροτάτους τῶν ἐν τῇ δυνάμει ἐπέταξε συμποδίσαντας τὸν Σε-
δραχ, Μισαχ, Αβδεναγω ἐμβαλεῖν εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν
21 καιομένην. [21]τότε οἱ ἄνδρες ἐκεῖνοι συνεποδίσθησαν ἔχοντες τὰ

17 πυρος] + ※της καιομενης 88 Sy || 18 οτι] pr. ※βασιλευ 88 Sy | προσκυνουμεν] pr. ου 88 || 19 ηλλοιωθη] + ※επι σεδραχ μισαχ και αβδεναγω Sy (hab. επι non sub ※): eadem add. 88 sine ※; haec non antiquae uersionis esse cogo ex και, quod in 𝔊 nusquam ante αβδεναγω inuenitur || 20 τον σεδραχ μισαχ αβδεναγω in 88 Sy sub ※: haec per errorem asterisco ornata uidentur pro similibus uerbis uersus praecedentis

---

πεσόντες προσκυνήσητε τῇ εἰκόνι, ᾗ ἐποίησα· ἐὰν δὲ μὴ προσ- θ'
κυνήσητε, αὐτῇ τῇ ὥρᾳ ἐμβληθήσεσθε εἰς τὴν κάμινον τοῦ πυρὸς
τὴν καιομένην· καὶ τίς ἐστιν θεός, ὃς ἐξελεῖται ὑμᾶς ἐκ τῶν χει-
16 ρῶν μου; [16]καὶ ἀπεκρίθησαν Σεδραχ, Μισαχ, Αβδεναγω λέγοντες
τῷ βασιλεῖ Ναβουχοδονοσορ Οὐ χρείαν ἔχομεν ἡμεῖς περὶ τοῦ
17 ῥήματος τούτου ἀποκριθῆναί σοι· [17]ἔστιν γὰρ θεός, ᾧ ἡμεῖς λα-
τρεύομεν, δυνατὸς ἐξελέσθαι ἡμᾶς ἐκ τῆς καμίνου τοῦ πυρὸς τῆς
18 καιομένης, καὶ ἐκ τῶν χειρῶν σου, βασιλεῦ, ῥύσεται ἡμᾶς· [18]καὶ
ἐὰν μή, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λα-
τρεύομεν καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ προσκυνοῦμεν.
19 [19]τότε Ναβουχοδονοσορ ἐπλήσθη θυμοῦ, καὶ ἡ ὄψις τοῦ προσώπου
αὐτοῦ ἠλλοιώθη ἐπὶ Σεδραχ, Μισαχ καὶ Αβδεναγω, καὶ εἶπεν ἐκ-
20 καῦσαι τὴν κάμινον ἑπταπλασίως, ἕως οὗ εἰς τέλος ἐκκαῇ· [20]καὶ
ἄνδρας ἰσχυροὺς ἰσχύι εἶπεν πεδήσαντας τὸν Σεδραχ, Μισαχ καὶ
Αβδεναγω ἐμβαλεῖν εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην.
21 [21]τότε οἱ ἄνδρες ἐκεῖνοι ἐπεδήθησαν σὺν τοῖς σαραβάροις αὐτῶν

15 προσκυνησητε 1⁰] -νειτε A | τη εικονι] + τη χρυση A: cf. 5. 7. 11. 12. 14. 18 | θεος] pr. ο A | των χειρων] χειρος BQ(†): cf. 17 || 17 θεος B*QV†] (ο) θεος ημων εν ουρανοις rel. (cf. O) | των χειρων] της χειρος A†: cf. 16 || 18 τη χρυση > B†: cf. 5 || 19 ναβουχ.] + ο βασιλευς A | και αβδεναγω] και > A: item in 23, cf. 14 | εως ου] ου > A†